Ἢ διὰ πλῆθος τροφῆς, ὄντως ʽἐν πλησμονῇ Κύπριςʼ (Eur. fr. 895); ἀφθονία γὰρ τροφῆς τὸ γόνιμον περίττωμα ποιεῖ καὶ φυτοῖς καὶ ζῴοις· αἱ μὲν οὖν ἄγριαι δι᾽ αὐτῶν καὶ μετὰ φόβου τὴν τροφὴν ζητοῦσι, ταῖς δ᾽ ἡμέροις ὑπάρχει διὰ παντὸς ἡ μὲν αὐτοφυὴς ἡ δ᾽ ἐκ παρασκευῆς.

ἢ τὸ τῆς σχολῆς καὶ ἀσχολίας ἅμα συμβαῖνον; αἱ C □ μὲν γὰρ ἀργοῦσι, μὴ βουλόμεναι πόρρω πλανᾶσθαι τῶν συφορβῶν, αἱ δ᾽ ὀρειβατοῦσαι καὶ περιθέουσαι τὴν τροφὴν διαφοροῦσι καὶ καταναλίσκουσιν εἰς τὸ σῶμα πᾶσαν, ὥστε διὰ τὸ ἀεὶ συντείνειν μὴ γίνεσθαι περίττωμα. ἢ καὶ τὸ συντρέφεσθαι καὶ συναγελάζεσθαι τὰ θήλεα τοῖς ἄρρεσιν ἀνάμνησιν ποιεῖ τῶν ἀφροδισίων καὶ συνεκκαλεῖται τὴν ὄρεξιν (ὡς ἐπ᾽ ἀνθρώπων Ἐμπεδοκλῆς ἐποίησε (fr. 64)

ʽτῷ δ᾽ ἐπὶ καὶ πόθος εἶσι δι᾽ ὄψιος ἀμμιμνήσκωνʼ),

ἐν δὲ τοῖς ἀγρίοις, ἀποτρόφοις οὖσιν ἀλλήλων, τὸ ἄστοργον καὶ δυσεπίμικτον ἀμβλύνει καὶ ἀνασβέννυσι τὰς ὁρμάς;

ἢ καὶ τὸ λεγόμενον ὑπ᾽ Ἀριστοτέλους (H. An. VI D 578b1) ἀληθές ἐστιν, ὅτι ʽχλούνηνʼ Ὅμηρος (*I* 539) ὠνόμασε σῦν τὸν μόνορχιν; τῶν γὰρ πλείστων φησὶ προσκνωμένων τοῖς στελέχεσι θρύπτεσθαι τοὺς ὄρχεις.